πολιτῶν ἐπὶ κλοπῇ χρημάτων ἀπεκτείνατε. καίτοι ἐκεῖ-
νοι μὲν τοσοῦτον μόνον ὑμᾶς ἔβλαψαν ὅσον ἐν τῷ πα-
ρόντι, οὗτοι δ' ἐπὶ τῇ τῶν νόμων ἀναγραφῇ [καὶ τῶν
ἱερῶν] δῶρα λαμβάνοντες εἰς ἅπαντα τὸν χρόνον τὴν
πόλιν ζημιοῦσι.

Διὰ τί δ' ἄν τις ἀποψηφίσαιτο τούτου; πότερον ὡς 26
ἀνδρὸς ἀγαθοῦ πρὸς τοὺς πολεμίους καὶ πολλαῖς μάχαις
καὶ ναυμαχίαις παραγεγενημένου; ἀλλὰ ὅτε ὑμεῖς ἐκιν-
δυνεύετε ἐκπλέοντες, οὗτος αὐτοῦ μένων τοὺς Σόλωνος
νόμους ἐλυμαίνετο. ἀλλ' ὅτι χρήματα δεδαπάνηκε καὶ
πολλὰς εἰσφορὰς εἰσενήνοχεν; ἀλλ' οὐχ ὅπως ὑμῖν τῶν
αὑτοῦ τι ἐπέδωκεν, ἀλλὰ τῶν ὑμετέρων πολλὰ ὑφῄρηται.
ἀλλὰ διὰ τοὺς προγόνους; ἤδη γάρ τινες καὶ διὰ τοῦτο 27
συγγνώμης ἔτυχον παρ' ὑμῶν. ἀλλὰ τούτῳ γε προσήκει
διὰ μὲν αὐτὸν τεθνάναι, διὰ δὲ τοὺς προγόνους πεπρᾶ-
σθαι. ἀλλ' ὡς, ἐὰν νῦν αὐτοῦ φείσησθε, αὖθις ἀπο-
δώσει | τὰς χάριτας; ὃς οὐδ' ὧν πρότερον μετέλαβε παρ'
ὑμῶν ἀγαθῶν μέμνηται. καίτοι ἀντὶ μὲν δούλου πολί-
της γεγένηται, ἀντὶ δὲ πτωχοῦ πλούσιος, ἀντὶ δὲ ὑπο-
γραμματέως νομοθέτης. ἃ καὶ ὑμῶν ἔχοι ἄν τις κατη- 28
γορῆσαι, ὅτι οἱ μὲν πρόγονοι νομοθέτας ᾑροῦντο Σό-
λωνα καὶ Θεμιστοκλέα καὶ Περικλέα, ἡγούμενοι τοι-
ούτους ἔσεσθαι τοὺς νόμους οἷοίπερ ἂν ὦσιν οἱ τιθέν-
τες, ὑμεῖς δὲ Τεισαμενὸν τὸν Μηχανίωνος καὶ Νικό-
μαχον καὶ ἑτέρους ἀνθρώπους ὑπογραμματέας· καὶ τὰς
μὲν ἀρχὰς ὑπὸ τῶν τοιούτων ἡγεῖσθε διαφθείρεσθαι,
αὐτοὶ δὲ τούτοις πιστεύετε. ὃ δὲ πάντων δεινότατον· 29
ὑπογραμματεῦσαι μὲν οὐκ ἔξεστι δὶς τὸν αὐτὸν τῇ ἀρχῇ
τῇ αὐτῇ, περὶ δὲ τῶν μεγίστων τοὺς αὐτοὺς ἐᾶτε πολὺν
χρόνον κυρίους εἶναι. καὶ τὸ τελευταῖον Νικόμαχον 30
εἵλεσθε ἀναγράφειν τὰ πάτρια, ᾧ κατὰ πατέρα τῆς πό-